Ακαδημία Αθηνών / Academy of Athens



**γεωγραφίη.** Γεωγραφία, Geography, Δημόκριτος 14 c (τίτλ.). *Γ ε ω γ ρ α φ ί η.*

**γεωμετρία** (τύπ. *γαμετρία*, συνών. *γεωμετρικά*). Γεωμετρία, geometry, Ἀρχύτας 1.7 *περὶ γ α μ ε τ ρ ί α ς καὶ ἀριθμῶν . . . ἃ ἐκλείπει αὖ ἁ γ ε ω μ ε τ ρ ί α* Δημόκριτος 11 m (τίτλ.) *Περὶ γ ε ω μ ε τ ρ ί η ς.*

**γεωμετρικός.** Γεωμετρικός (μουσικὸς ὅρος), geometrical/geometric (musical term), Ἀρχύτας 2.2-7 *δευτέρα δὲ ἁ γ ε ω μ ε τ ρ ι κ ὰ . . . ἁ γ ε ω μ ε τ ρ ι κ ὰ δέ, ὄκκα ἔωντι οἷος ὁ πρᾶτος ποτὶ τὸν δεύτερον.*

**γεωμετρικά (ἁ)** (συν. *γεωμετρία*). Ἡ Γεωμετρία, geometry, Ἀρχύτας 4.3 *καὶ δοκεῖ ἁ λογιστικὰ . . . καὶ τᾶς γ ε ω μ ε τ ρ ι κ ᾶ ς ἐναργεστέρω πραγματεύεσθαι ἃ θέλει.* ‖ **γεωμετρικά (τά)** Δημοκρ. 11 n (τίτλ.) *Γ ε ω μ ε τ ρ ι κ ῶ ν Α Β.*

**γεωργίη.** Γεωργία, agriculture, Δημόκριτος 26 f (τίτλ.) *Περὶ γ ε ω ρ γ ί η ς ἢ γεωργικὸν (γεωργικά).*

**γεωργικόν.** Πραγματεία περὶ γεωργίας, treatise on agriculture, Δημόκριτος 26 f (τίτλ.) *Περὶ γεωργίης ἢ γ ε ω ρ γ ι κ ὸ ν (γεωργικά).*

**γῆ** (τύπ. *γαῖα, γᾶ,* ἐπικ. *αἶα,* συνών. *χθών, Χθονίη, ἄρουρα*) **1.** Ἡ γῆ ὡς πρωταρχικὸ στοιχεῖο, earth as a primary element, Ξενοφάνης 29 *γ ῆ καὶ ὕδωρ πάντ' ἔσθ' ὅσα γίνοντ(αι) ἠδὲ φύονται* 33 *πάντες γὰρ γ α ί η ς τε καὶ ὕδατος ἐκγενόμεσθα* Ἡράκλειτος 36.2 *ὕδατι δὲ θάνατος γ ῆ ν γενέσθαι, ἐκ γ ῆ ς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχὴ* Μέλισσος 8.5-20 *εἰ γὰρ ἔστι γ ῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ . . . δοκεῖ δὲ ἡμῖν . . . ἐξ ὕδατός τε γ ῆ καὶ λίθος γίνεσθαι* Ἐμπεδοκλῆς 17.18 *πῦρ καὶ ὕδωρ καὶ γ α ῖ α καὶ ἠέρος ἄπλετον ὕψος* 71.2 *ὕδατος γ α ί η ς τε καὶ αἰθέρος ἠελίου τε* 85 *ἡ δὲ φλὸξ ἱλάειρα μινυνθαδίης τύχε γ α ί η ς* 109.1 *γ α ί ῃ μὲν γὰρ γ α ῖ α ν ὀπώπαμεν* Φιλόλαος 12.2 *τὰ ἐν τᾷ σφαίρᾳ πῦρ* <*καὶ*> *ὕδωρ καὶ γ ᾶ καὶ ἀὴρ* Ἀναξαγόρας 16.1-3 *συμπήγνυται γ ῆ . . . ἐκ δὲ τοῦ ὕδατος γ ῆ, ἐκ δὲ γ ῆ ς λίθοι* Διογέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

νης 2.4 *γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ* **2** (ἀντιδιαστ. *οὐρανός*). Ἡ Γῆ, Earth, Ξενοφάνης 28.1 *γαίης μὲν τόδε πεῖρας ἄνω παρὰ ποσσὶν ὁρᾶται ἠέρι προσπλάζον* 31 *ἠέλιος θ' ὑπεριέμενος γαῖάν τ' ἐπιθάλπων* Παρμενίδης 11.1 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη* 14 *νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς* Ἐμπεδοκλῆς 39.1 *εἴπερ ἀπείρονα γῆς τε βάθη* 42.2 *ἀπεσκνίφωσε δὲ γαίης* 45 *κυκλοτερὲς περὶ γαῖαν ἑλίσσεται ἀλλότριον φῶς* 48 *νύκτα δὲ γαῖα τίθησιν ὑφισταμένη φαέεσσι* 115.10 *γαῖα δ' ἐς αὐγὰς ἠελίου φαέθοντος* Πυθαγόρειοι A 37 (DK I 462,8) *ἀντίχθονα δὲ τὴν σελήνην ... καὶ αἰθερίαν γῆν* Ἀναξαγόρας 15.2 *τὸ μὲν πυκνὸν καὶ διερὸν καὶ ψυχρὸν καὶ τὸ ζοφερὸν ἐνθάδε συνεχώρησεν, ἔνθα νῦν* <*ἡ γῆ*>, *τὸ δὲ ἀραιὸν καὶ τὸ θερμὸν καὶ τὸ ξηρὸν ἐξεχώρησεν εἰς τὸ πρόσω τοῦ αἰθέρος* **3** (ἀντιδιαστ. *θάλασσα, πόντος*). Ἡ στεριά, land, Ἡράκλειτος 31 *πυρὸς τροπαὶ πρῶτον θάλασσα, θαλάσσης δὲ τὸ μὲν ἥμισυ γῆ ...* <*γῆ*> *θάλασσα διαχέεται καὶ μετρέεται εἰς τὸν αὐτὸν λόγον ὁκοῖος πρόσθεν ἦν ἢ γενέσθαι γῆ* Ἐμπεδοκλῆς 38.3 *γαῖά τε καὶ πόντος πολυκύμων ἠδ' ὑγρὸς ἀὴρ* 55 *γῆς ἱδρῶτα θάλασσαν* 111.3 *ἀνέμων μένος οἵ τ' ἐπὶ γαῖαν ὀρνύμενοι* Ἀναξαγόρας 4.8 *καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα* Διογένης 2.10 *οὔτε φυτὸν ἐκ τῆς γῆς φῦναι οὔτε ζῷον* **4.** Περιοχὴ τῆς γῆς/χώρα, region of earth/country, Ξενοφάνης 8.2 *ἀν' Ἑλλάδα γῆν* Δημόκριτος 247 *ἀνδρὶ σοφῷ πᾶσα γῆ βατὴ* **5.** Χῶμα, earth, Ἡράκλειτος 22 *χρυσὸν οἱ διζήμενοι γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον* Ἀναξαγόρας 4.17 *γῆς πολλῆς ἐνεούσης.*

**Γηθοσύνη.** Χαρὰ/Τέρψη (προσωποπ.), Joy/Delight (personif.), Ἐμπεδοκλῆς 17.24 *Γηθοσύνην καλέοντες ἐπώνυμον ἠδ' Ἀφροδίτην.* Πρβλ. *Ἀφροδίτη, Φιλότης.*

**γηραιός** (ἀντίθ. *νέος*). Γερασμένος, old, Ἡράκλειτος 88.3 *καὶ νέον καὶ γηραιόν.* Πρβλ. *γέρων, γηραλέος, παλαιός.*

**γηραλέος.** Ἡλικιωμένος/γέρος, elderly/old, Ξενοφάνης 1.18 *οὐχ ὕβρις πίνειν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος.* Πρβλ. *γηραιός, γέρων.*

**γῆρας** (ἀντίθ. *νεότης*). Γήρας/γηρατειά, old age, Ἐμπεδοκλῆς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ